eul_wid: swk-aa

*Λιβάνιος ὁ Ἀντιοχεύς* · Libanius of Antioch

# Declamation 3, Embassy of Menelaus, Theorem

*Μελέτη γ*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Ἀττικίζουσα* Atticizing
**Domain:** *Ῥητορική* Oratory
**Format:** *Λόγος* Oration

**Θεώρημα.**

1 Χωρίσας δὲ τὴν πρότασιν ἀπὸ τῆς κατασκευῆς ἀντιθέσεις πεποίηκα δύο. κέχρηται δὲ τῷ θεωρήματι καὶ Δημοσθένης· τί δὲ ἂν εἴποις περὶ Δημοσθένου ς , ὃς τῶν συμπρέσβεων κατηγορε ῖ ; καὶ χωρὶς ἀπαντήσας πάλιν ἀντέθηκε τὴν τούτου κατασκευήν· ποῦ δ ’ ἅλε ς ; ποῦ τράπεζα ι ; ποῦ σπονδα ί ; καὶ λύει.

2 ἔστι δὲ καὶ ἄνευ τούτου βαρβάρῳ πρέπων ὁ λόγος καὶ πρός γε Ἀλεξάνδρου. μαρτυρεῖ δὲ καὶ Ὅμη ρος. ποιεῖ γὰρ ἐν συλλόγῳ τὸν Ἀλέξανδρον λέγοντα ἀντικρὺ δ ’ ἀπόφημ ι , γυναῖκα μὲν οὐκ ἀποδώσ ω .

3 καὶ ψιλῆς πάσης αἰτίας ἡ πρότασις, ὥστ’ εἰ καὶ μὴ προσῆν ἐνταῦθα τὸ τῆς κατασκευῆς, ὑπῆν ἄν τις ἐκ τοῦ προσώπου λόγος.